πράγματος ῥᾴδιόν ἐστι γνῶναι ὅσον ἀναισχυντότατοι
ἀνθρώπων εἰσὶν οὗτοι. Τίνος γὰρ ἕκενα, εἰ ἦν γνησία θυγά-
τηρ τῷ ἡμετέρῳ θείῳ καταλειπομένη, ποιησάμενος ὁ θεῖος
κατέλιπε τὸν ἐμὸν ἀδελφὸν ὑὸν ἑαυτῷ; Πότερον ὅτι προσ-
ήκοντες αὐτῷ ἐγγυτέρω γένους ἡμῶν ἦσαν ἄλλοι, οὓς βου-
λόμενος τὴν ἐπιδικασίαν τῆς θυγατρὸς ἀποστερῆσαι
ἐποιεῖτο τὸν ⟨ἐμὸν⟩ ἀδελφὸν ὑὸν αὐτῷ; Ἀλλ' οὔτε ἐγένετο
οὔτ' ἔστι, μὴ γενομένων γε παίδων γνησίων ἐκείνῳ, ἐγγυ-
τέρω ἡμῶν οὐδὲ εἷς· ἀδελφὸς μὲν γὰρ οὐκ ἦν αὐτῷ οὐδ'
ἀδελφοῦ παῖδες, ἐκ δὲ τῆς ἀδελφῆς ἡμεῖς ἦμεν αὐτῷ. 73
Ἀλλὰ νὴ Δία ἄλλον τινὰ ποιησάμενος τῶν συγγενῶν ἔδωκεν
ἂν ἔχειν τὸν κλῆρον καὶ τὴν θυγατέρα τὴν ἑαυτοῦ· καὶ τί
αὐτὸν ἔδει καταφανῶς καὶ ὁτῳοῦν ἀπέχθεσθαι τῶν οἰκείων,
ἐξόν, εἴπερ ἦν ἠγγυημένος τὴν ἀδελφὴν τὴν Νικοδήμου,
τὴν θυγατέρα τὴν ἐκ ταύτης ἀποφανθεῖσαν εἶναι εἰς τοὺς
φράτερας εἰσαγαγόντι ὡς οὖσαν γνησίαν ἑαυτῷ, ἐπὶ ἅπαντι
τῷ κλήρῳ ἐπίδικον καταλιπεῖν αὐτὴν καὶ ἐπισκῆψαι τῶν
γιγνομένων ⟨ἐκ⟩ τῆς θυγατρὸς παίδων εἰσαγαγεῖν ὑὸν
ἑαυτῷ; 74 Δῆλον μὲν γὰρ ὅτι ἐπίκληρον [μὲν] καταλιπὼν
ἀκριβῶς ἂν ᾔδει ὅτι δυοῖν θάτερον ἔμελλεν ὑπάρχειν αὐτῇ·
ἢ γὰρ ἡμῶν τινα τῶν ἐγγύτατα γένους ἐπιδικασάμενον ἕξειν
γυναῖκα, ἢ εἰ μηδεὶς ἡμῶν ἐβούλετο λαμβάνειν, τῶν θείων
τινὰ τούτων τῶν νῦν μαρτυρούντων, εἰ δὲ μή, τῶν ἄλλων
τινὰ συγγενῶν τὸν αὐτὸν τρόπον ἐπὶ πάσῃ τῇ οὐσίᾳ ἐπιδι-
κασάμενον κατὰ τοὺς νόμους ἕξειν ταύτην γυναῖκα. 75
Οὐκοῦν ἐκ μὲν τοῦ τὴν θυγατέρα εἰς τοὺς φράτερας εἰσ-
αγαγεῖν καὶ μὴ ποιήσασθαι τὸν ἐμὸν ἀδελφὸν ὑὸν αὐτῷ ταῦτ'
ἂν διεπράξατο· ἐκ δὲ τοῦ τοῦτον μὲν ποιήσασθαι, τὴν δὲ μὴ
εἰσαγαγεῖν, τὴν μὲν νόθην, ὥσπερ αὐτῷ προσῆκε, καὶ ἄκλη-